Universitätsbibliothek Paderborn

# Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

**Eusebius <Caesariensis>**

**Mogvntiae, 1672**

XV. Quomodo Constantinus vicennalibus suis Episcopos convivio exceperit.

urn:nbn:de:hbz:466:1-14478

Visual Library

A

## ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Ὅπως τοῖς Ἐπισκόποις συνειστιάθη Κωνσταντῖνος εἰκοσαετηρίδος οὔσης.

Κατὰ τὸ αὐτὸ δ' αὐτῷ καὶ τῆς βασιλείας εἰκοσαετὴς ἐπληροῦτο χρόνος· ἐφ' ᾧ πάνδημοι μὲν ἤγοντο πανηγύρεις τοῖς λοιποῖς ἔθνεσι. τοῖς δέ γε τοῦ Θεοῦ λειτουργοῖς, εὐωχίας αὐτὸς ἐξῆρχε βασιλεύς, συμποσιάζων εἰρηνεύσασι, καὶ οἱονεὶ θυσίαν ταύτην ἀποδιδοὺς ἐμπρέπουσαν τῷ Θεῷ δι' αὐτῶν. οὐδ' ἀπελείπετό τις Ἐπισκόπων βασιλικῆς ἑστιάσεως. κρεῖττον δ' ἦν παντὸς λόγου τὸ γινόμενον. δορυφόροι μὲν γὰρ καὶ ὁπλῖται γυμναῖς ταῖς τῶν ξιφῶν ἀκμαῖς ἐν κύκλῳ τὰ πρόθυρα τῶν βασιλείων ἐφρούρουν. μέσοι δὲ τούτων ἀδεεῖς οἱ τοῦ Θεοῦ διέβαινον ἄνθρωποι, ἐνδοτάτω τῶν ἀνακτόρων ἐχώρουν. εἶθ' οἱ μὲν αὐτῷ συνανεκλίνοντο. οἱ δ' ἀμφὶ τὰς ἑκατέρων προσανεπαύοντο κλινάδας. Χριστοῦ βασιλείας ἔδοξεν ἄν τις φαντασιοῦσθαι εἰκόνα, ὄναρ τ' εἶναι ἀλλ' οὐχ ὕπαρ τὸ γινόμενον.

## Caput XV.

*Quomodo Constantinus vicennalibus suis Episcopos convivio exceperit.*

Eodem tempore vicesimus Imperii ejus annus complebatur. Cujus rei causâ cùm in omnibus provinciis publicæ festivitates agerentur, Imperator Dei ministros ad convivium vocavit; & cum iisdem jam inter se conciliatis epulatus, hoc velut conveniens sacrificium per illos obtulit Deo. Neq; ullus Episcoporum ab hoc Imperiali convivio abfuit. Res porrò ipsa omnem B dicendi copiam longè superabat. Protectores enim & milites in orbem dispositi, strictis gladiis palatii vestibulum custodiebant. Homines autem Dei per medium illorum absq; ullo metu transibant, & ad intima usque palatii penetralia ingrediebantur. Ex his deinde alii unà cum Imperatore accubuerunt: alii in stibadiis utrimque dispositis discubuere. Prorsus imago quædam Regni Christi adumbrari, résque ipsa somnio quàm veritati propior videbatur.

C

## ΚΕΦΑΛΑΙΟΝ Ιϛ'.

Χαρίσματα Ἐπισκόποις, καὶ γράμματα πρὸς τοὺς πάντας.

Ἐπεὶ δὲ λαμπρῶς τὰ τῆς εὐωχίας προὐχώρει, ἔτι καὶ τοῦτο βασιλεὺς δεξιούμενος τοὺς πάντας προσετίθει, μεγαλοψύχως ἕκαστον κατὰ τὴν πρέπουσαν ἀξίαν τοῖς παρ' αὐτοῦ τιμῶν ξενίοις. τῆς δὲ συνόδου ταύτης, καὶ τοῖς μὴ παροῦσι τὴν μνήμην δι' οἰκείου παρεδίδου γράμματος. ὃ δὴ καὶ αὐτό, ὥσπερ ἐν στήλῃ τῇδε τῇ περὶ αὐτοῦ συνάψω διηγήσει, τοῦτον ἔχον τὸν τρόπον.

## Caput XVI.

*Munera Episcopis donata, & literæ ad omnes scriptæ.*

Celebratis splendidissimo apparatu conviviis; Imperator cunctos liberaliter excipiens, id etiam pro sua magnificentia adjecit, ut unumquemque pro meritis ac dignitate muneribus honoraret. Eos quoque qui huic Synodo minimè interfuissent, de rebus in ea gestis certiores fecit per literas: quas in hoc Opere, tanquam in tabula quadam incisas proponam. Sunt autem hujusmodi:

D

## ΚΕΦΑΛΑΙΟΝ ΙΖ'

Κωνσταντίνου πρὸς τὰς ἐκκλησίας περὶ τῆς ἐν Νικαίᾳ συνόδου.

Κωνσταντῖνος Σεβαστὸς ταῖς ἐκκλησίαις.

Πεῖραν λαβὼν ἐκ τῆς τῶν κοινῶν εὐπραξίας, ὅση τῆς θείας δυνάμεως πέφυκε χάρις, τοῦτον πρό γε πάντων ἔκρινα εἶναί μοι προσήκειν σκοπόν, ὅπως παρὰ τοῖς μακαριωτάτοις τῆς καθολικῆς ἐκκλησίας πλήθεσι, πίστις μία καὶ εἰλικρινὴς ἀγάπη, ὁμογνώμων τε περὶ τὸν παγκρατῆ Θεὸν εὐσέβεια τηρῆται. ἀλλ' ἐπειδὴ τοῦτ' οὐχ οἷόν τ' ἦν ἀκλινῆ καὶ βεβαίαν τάξιν

## Caput XVII.

*Epistola Constantini ad Ecclesias de Synodo Nicæna.*

*Constantinus Augustus Ecclesiis.*

Cum ex prospero Reipublicæ statu compertum haberem, quanta fuisset erga nos omnipotentis Dei benignitas; in hoc præcipuè mihi elaborandum esse existimavi, ut à sanctissimis Ecclesię Catholicæ populis una fides, sincera caritas, & consona erga omnipotentem Deum religio servaretur. Sed quoniam fieri nõ poterat ut ea res firmè ac stabiliter constitueretur, nisi omnibus Episco-